## Τοῦ Κοινοῦ μέρους τὸ Τρίτον Τμῆμα. τὸ αον κεφ.

### περὶ συλλογισμοῦ γενικῶς θεωρητέα τέσσαρα·

1. ἡ γένεσις τοῦ συλλογισμοῦ· ἐν ᾗ θεωρητέα δύο
   1. τί ἐστιν· ὅτι Συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει, τῷ ταῦτα εἶναι. ἄλλως. συλλογισμός ἐστι λόγος ἐν ᾧ ἡγουμένων δύο προτάσεων ἁπλῶν, δεόντως ἐν τῷ σχήματι καὶ τρόπῳ συντεταγμένων, συνάγεται συμπέρασμα, ὃ διαφέρει ἐκείνων τῶν προτάσεων.
   2. αἱ ἀρχαὶ ποῖαι τοῦ συλλογισμοῦ· ὅτι
      1. αἱ μὲν ὑλικαί, ἐξ ὧν ὥσπερ ἐξ ὕλης γίνεται ὁ συλλογισμός. περὶ ὧν τὸ βον κεφ.
         αἱ δὲ εἰδικαί, καθ' ἃς τὸ εἶδος καὶ ἡ μορφὴ γίνεται τοῦ συλλογισμοῦ. περὶ ὧν τὸ γον κεφ.
      2. αἱ δὲ διατακτικαί, πρὸς ἃς ὥσπερ κανόνας τινὰς γίνονται οἱ συλλογισμοί· περὶ τούτων τὸ δον κεφ.
         αἱ δὲ [struck] τελειωτικαί· δι' ὧν ἡ ἀνάγκη τοῦ συμπεράσματος σαφέστερον δείκνυται ὅταν δέῃ. περὶ ὧν τὸ εον κεφ.
2. ἡ εὕρεσις τοῦ μέσου· περὶ ἧς τὸ ϛον κεφ.
3. ἡ ἀνάλυσις· περὶ ἧς τὸ ζον κεφ.
4. τὰ συγγενῆ τοῖς συλλογισμοῖς· περὶ ὧν τὸ ηον κεφ.

---

### τὸ βον κεφ.
### περὶ τῶν ὑλικῶν ἀρχῶν· αἵτινες

ἤτοι πορρώτεραι· οἱ ὅροι· περὶ ὧν θεωρητέα
1. τί ἐστιν· ὅτι ὅρος ἐστὶν εἰς ὃν ἀναλύεται ἡ πρότασις· τὸ κατηγορούμενον, καὶ τὸ ὑποκείμενον.
2. πόσοι· ὅτι τρεῖς
   1. ὁ μείζων, τὸ κατηγορούμενον τοῦ συμπεράσματος· καλεῖται δὲ καὶ μεῖζον ἄκρον.
   2. ὁ ἐλάσσων, τὸ ὑποκείμενον τοῦ συμπεράσματος· καλεῖται δὲ καὶ ἔλασσον ἄκρον.
   3. ὁ μέσος· ὃς δὶς τίθεται πρὸ τοῦ συμπεράσματος. καλεῖται δὲ καὶ μέσον, ὅτι τρόπον τινὰ συνάπτει τὰ ἄκρα.

http://digital.slub-dresden.de/ppn347224571/26